Ἑλένην Μενέλεως ἵνα λάβῃ. καλόν γέ τοι
κακῆς γυναικὸς μισθὸν ἀποτῖσαι τέκνα,
τἄχθιστά γ' εἰ τοῖς φιλτάτοις ὠνούμεθα.
ἄγ', εἰ στρατεύσει καταλιπών μ' ἐν δώμασι,
κἀκεῖ γενήσει διὰ μακρᾶς ἀπουσίας,
τίν' ἐν δόμοις με καρδίαν ἕξειν δοκεῖς,
ὅταν θρόνους τῆσδ' εἰσίδω πάντας κενούς,
κενοὺς δὲ παρθενῶνας, ἐπὶ δὲ δακρύοις
μόνη κάθωμαι, τήνδε θρηνῳδοῦσ' ἀεί,
Ἀπώλεσέν σ', ὦ τέκνον, ὁ φιτύσας πατὴρ
αὐτὸς κτανών, οὐκ ἄλλος, οὐδ' ἄλλῃ χερί,
*　　*　　*　　*　　*
τοιόνδε μισθὸν καταλιπὼν πρὸς τοὺς δόμους.
ἐπεὶ βραχείας προφάσεως †ἔδει μόνον,
ἐφ' ᾗ σ' ἐγὼ καὶ παῖδες αἱ λελειμμέναι
δεξόμεθα δέξιν ἥν σε δέξασθαι χρεών.
μὴ δῆτα πρὸς θεῶν μήτ' ἀναγκάσῃς ἐμὲ
κακὴν γενέσθαι περὶ σὲ μήτ' αὐτὸς γένῃ.
εἶεν·
θύσεις δὲ δὴ παῖδ'· εἶτα τίνας εὐχὰς ἐρεῖς;
τί σοι κατεύξει τἀγαθὸν σφάζων τέκνον;
νόστον πονηρὸν οἴκοθέν γ' αἰσχρῶς ἰών;
ἀλλ' ἐμὲ δίκαιον ἀγαθὸν εὔχεσθαί τί σοι;
ἦ τἄρ' ἀσυνέτους τοὺς θεοὺς ἡγοίμεθ' ἄν,
εἰ τοῖσιν αὐθένταισιν εὖ φρονήσομεν.
ἥκων δ' ἐς Ἄργος προσπεσεῖ τέκνοισι σοῖς;
ἀλλ' οὐ θέμις σοι. τίς δὲ καὶ προσβλέψεται
παίδων σ', ἵν' αὐτῶν προθέμενος κτάνῃς τινά;
ταῦτ' ἦλθες ἤδη διὰ λόγων, ἢ σκῆπτρά σοι
μόνον διαφέρειν καὶ στρατηλατεῖν σε δεῖ;
ὃν χρῆν δίκαιον λόγον ἐν Ἀργείοις λέγειν,
Βούλεσθ', Ἀχαιοί, πλεῖν Φρυγῶν ἐπὶ χθόνα;
κλῆρον τίθεσθε, παῖδ' ὅτου θανεῖν χρεών.
ἐν ἴσῳ γὰρ ἦν τόδ', ἀλλὰ μή σ' ἐξαίρετον
σφάγιον παρασχεῖν Δαναΐδαισι παῖδα σήν,
ἢ Μενέλεων πρὸ μητρὸς Ἑρμιόνην κτανεῖν,